:: περὶ τῆς τῶν μαρτύρων τιμῆς ::

Πυθαγόραν ἐκεῖνον οὗ κλέος πολὺ παρ᾽ ὑμῖν, εἰρηκέναι
φασὶν οἱ τὰ ἐκείνου ξυγγεγραφότες, ὡς χρὴ τῶν
εἰρημένων προτιθέναι τὰς μούσας. ἐγὼ δὲ ἂν μὲν
ἁπλοῖς ἐκεῖνος καὶ ἀφανέσιν εἰώθει κεχρῆσθαι λό- ⁊ οὐκ
γοις, ὥσπερ δὴ καὶ ἄλλοι τῶν φιλοσόφων τινές,
ἔφην ἂν αὐτὸν ὡς ἡδίω τὴν τῶν μουσῶν προκε-
κρικέναι φωνήν· ἐπειδὴ δὲ αἰνιγματώδεις οἱ
ἐκείνου λόγοι καὶ ὕφαλοι, συμβολικὰς γάρ τοι τὰς
παραινέσεις προσέφερον. τοιοῦτο γὰρ δή, τό, :. τὰ πυθαγό-
„ μάχαιρα πῦρ μὴ σκαλεύειν, καὶ ἐπὶ χοίνικος μὴ : ρεια.
„ καθῆσθαι, καὶ μελάνουρον μὴ ἐσθίειν, καὶ ζυγὸν
„ μὴ ὑπερβαίνειν, καὶ τἄλλα τὰ τούτοις ξυντεταγ-
μένα, οἶμαι αὐτὸν σειρῆσι μὲν ἀπεικάσαι τοὺς
κεκομψευμένους καὶ κατεγλωττισμένους λόγους.
μούσαις δέ, τοὺς ἔπος ἀπλοῦν μὲν οὐδὲν ἔχοντας·
γυμνὸν δὲ τῆς ἀληθείας τὸ κάλλος ἐπιδεικνῦντας.
ὅσῳ γὰρ ἡ παρὰ τῆς φύσεως ὥρα τῆς ὑπὸ κομ-
μωτικῆς τέχνης διεσκευασμένης ἀμείνων,
τοσούτῳ κρείττων τῆς τῶν λόγων εὐεπείας τε καὶ
δεινότητος ἡ τῆς ἀληθείας εὐπρέπεια. πιστέ-
ον οὖν ἄρα ὦ ἄνδρες εἰ καὶ μὴ ἄλλῳ, τῷ γοῦν
πολυθρυλλήτῳ φιλοσόφῳ ταῦτα νομοθετοῦν-
τι· καὶ τὰ θεῖα λόγια μὴ παροπτέα νομίζειν.
ὅτι δὴ τῷ περιττῷ τῶν λόγων οὐ κατακέχρηνται
φύσει,

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_214/0251